www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΗΣ ΟΣΙΑΣ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΜΗΤΡΟΣ ΗΜΩΝ
# ΜΑΤΡΩΝΗΣ
## ΤΗΣ ΑΟΜΜΑΤΟΥ ΣΥΓΧΡΟΝΟΥ ΡΩΣΙΔΟΣ
## ΑΣΚΗΣΑΣΗΣ ΕΝ ΚΟΣΜῼ

Ἡ μνήμη αὐτῆς τελεῖται τῇ Β΄ Μαΐου.

ΠΟΙΗΜΑ ΔΡΟΣ ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ

## ΕΝ Τῼ ΜΙΚΡῼ ΕΣΠΕΡΙΝῼ

Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. *Τῶν οὐρανίων ταγμάτων.*

Τῆς ὀρθοδόξου Ῥωσίας
στῦλον τὸν ὄγδοον,
Ματρώναν τὴν ὁσίαν,
τὴν ἀρτίως ὀφθεῖσαν
δοχεῖον Παρακλήτου τοῦ πανσθενοῦς
διαυγὲς εὐφημήσωμεν
καὶ τὰς αὐτῆς ἐκζητήσωμεν προσευχὰς
πρὸς Θεὸν τὸν πανευΐλατον.

Δεῦτε, πιστοί, εὐσχημόνως
ἐγκωμιάσωμεν
τὴν θεαυγῆ Ματρώναν,
ἐν ἐσχάτοις τοῖς χρόνοις

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

τὴν λάμψασαν ἀγάπης μαρμαρυγαῖς
καὶ αὐγαῖς προοράσεως,
ὡς σέλας πάμφωτον ἄκρας ὑπομονῆς
ἀπὸ βρέφους καὶ χρηστότητος.

Χριστοῦ παγκάλων ἀμνάδων
τὸ σεμνολόγημα
καὶ τῆς Ῥωσίας εὖχος
νῦν ἀόμματον, πάντες,
Ματρώναν, τὴν ὁρῶσαν πνευματικῶς
τὸν Νυμφίον Θεάνθρωπον
ἐν οὐρανοῖς τοῖς βλεφάροις αὐτῆς ψυχῆς,
γεγηθότες ἀνυμνήσωμεν.

Ἐκ γενετῆς ἀγογγύστως
καθυπομείνασαν
τὴν στέρησιν ὀμμάτων,
θεοφόρον Ματρώναν,
ὡς θείαν εὐλογίαν καὶ ἀφορμὴν
ὀφθαλμῶν διανοίξεως
ψυχῆς πληθύος θεάσασθαι τὸν Θεόν,
δεῦτε, πάντες μακαρίσωμεν.

**Δόξα.** Ἦχος β΄.

Τὴν οὐδόλως θεασαμένην τὸν ἥλιον ἀνατέλλοντα καὶ δύοντα
καὶ τὰ ἔργα τῆς σοφίας τοῦ Δημιουργοῦ τῆς κτίσεως,
ἀλλ᾽ ἐμπλησθεῖσαν τῆς χάριτος τοῦ πανσθενοῦς Παρακλήτου,

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

Ματρώναν τὴν ἀοίδιμον, ἀξιοχρέως τιμήσωμεν·
αὕτη γὰρ ἐν Ῥωσίᾳ ἐξέλαμψεν ἄρτι
ἀκτῖσι θεραπείας νοσούντων,
παραμυθίας θλιβομένων
καὶ ποδηγεσίας πλανωμένων καὶ ἐμπεριστάτων πρὸς σωτηρίαν·
καὶ νῦν τοῦ ἀμηχάνου κάλλους τοῦ Κυρίου ἀπολαύουσα
ἐκτενῶς Αὐτῷ πρεσβεύει διανοῖξαι
καὶ ἡμῶν ψυχῆς τὰ ὄμματα τοῦ βλέπειν μόνον
τὰ καλὰ καὶ συμφέροντα.

**Καὶ νῦν.** Θεοτοκίον. Τὴν πᾶσαν ἐλπίδα μου....

Εἰς τὸν Στίχον. Ἦχος β΄. *Οἶκος τοῦ Ἐφραθᾶ.*

Χαῖρε, νεοφανῶν
ὁσίων ὡραιότης,
Ῥωσίας μέγα εὖχος,
Ματρώνα, καὶ μητέρων
θεοειδῶν ἀγλάϊσμα.

Στίχος. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Χαῖρε, ἡ φωταυγὴς
ἀόμματος ὁσία,
Ματρώνα, ἡ ἀρτίως
φωτίσασα Ῥωσίαν
ὑπομονῆς πυρσεύμασι.

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

Ἔχουσα τὸν Χριστὸν
ψυχῆς παραμυθίαν
διέδραμες τὸν βίον
παραμυθοῦσα πάντας,
Ματρώνα θεοφώτιστε.

**Δόξα.** Τριαδικόν.

Δόξα Σοι, πανσθενὲς
Τριὰς ὑπεραγία,
Ματρώνης ἀομμάτου
ἰδεῖν Σὴν θείαν δόξαν
ἡ κόρας διανοίξασα.

**Καὶ νῦν.** Θεοτοκίον.

Δέσποινα Μαριάμ,
ὑπερευλογημένη,
Ματρώνης ταῖς πρεσβείαις
ἀξίωσόν με δόξαν
θεάσασθαι τοῦ Τόκου σου.

**Νῦν ἀπολύεις**.....τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ,
εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛ΄
καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

*Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.*

Δεῦτε, πάντες φιλέορτοι,
καταστέψωμεν ᾄσμασι,
τὴν σεπτὴν Ματρώναν, τὴν πνευματέμφορον,
Ῥωσίδος ἔμπνουν θησαύρισμα
καὶ νέον καλλώπισμα
Ἐκκλησίας τοῦ Χριστοῦ,
γεννηθεῖσαν ἀόμματον
οἷσπερ κρίμασιν
οἶδε Κύριος, ἵνα καταυγάσῃ
φέγγει τῆς αὐτῆς σοφίας
τῶν χριστωνύμων ὁμήγυριν.

Ὁλοθύμως τιμήσωμεν
νῦν Ματρώναν τὴν ἔνθεον,
τὴν ἐκ τῆς κοιλίας μητρὸς ἀόμματον,
καὶ γευσαμένην ὡς νήπιον
πτωχείαν τε γέλωτας
ὁμηλίκων, ἐμπαιγμοὺς
καὶ δεινὴν περιφρόνησιν
ἀνακράζοντες·

χαῖρε, ἄστρον νεόφωτον Ῥωσίας
ἐναρέτῳ πολιτείᾳ
τὸ καταυγάσαν τὰ σύμπαντα.

Θεοστόλιστον κόσμημα
ψυχικῆς ὡραιότητος,
ταπεινοφροσύνης
καὶ διακρίσεως,
τὸ ὡραΐσαν ὁμήγυριν
πιστῶν εὐσεβείᾳ σου,
πολιτείᾳ ἀκραιφνεῖ,
θεοσδότῳ σου χάριτι
καὶ σεμνότητι,
θεοφόρε Ματρώνα, μὴ ἐλλίπῃς
ἱκετεύουσα τὸν Κτίστην
ὑπὲρ τῶν πόθῳ τιμώντων σε.

Τὴν ἐν κόσμῳ ἀσκήτριαν
ἀσιγήτως προφέρουσαν
τὸ ὑπὲρ πᾶν ὄνομα τοῦ Παντάνακτος,
Οὗπερ τὴν χάριν προσείλκυσε
καὶ γέγονε μέλαθρον
δωρεῶν παντοδαπῶν
ἐπαινέσωμεν σήμερον
ὕμνοις πρέπουσι
θεοφόρον Ματρώναν ὡς μητέρων
νεαυγῶν τερπνὴν κινύραν
καὶ ἅρπαν ὄντως γλυκύφθογγον.

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

Οὐρανόθεν τὸ χάρισμα
προοράσεως εἴληφας
χῦμα ἐκ τῶν χρόνων τῆς σῆς νεότητος,
νόσων μερόπων τῆς γνώσεως,
πικρᾶς περιστάσεως
καὶ μελλόντων συμφορῶν,
μῆτερ, τῶν προσιόντων σοι,
οὓς σοφώτατα
ἐνουθέτεις ὡς παιδαριογέρων
καὶ προέτρεπες βαδίσαι
ὁδὸν πρὸς πόλον ἀπάγουσαν.

Τὸ πανίερον σκῆνός σου,
ὃ ἐτάφη, πανεύφημε,
ἄρτι Ντανιλόφσκι ἐν μάνδρᾳ, δέδεικται,
Ματρώνα, χάριτος ἔσοπτρον·
διὸ ἀσπαζόμενοι
τοῦτο μετακομισθὲν
εὐλαβῶς, πνευματέμφορε,
οἱ φιλάγιοι
ἐν μονῇ θείας Σκέπης τῆς ἐν Μόσχᾳ
μεγαλύνομέν σε πίστει
ὡς ἰσαγγέλως βιώσασαν.

**Δόξα.** *Ἦχος πλ. β΄.*

Τῆς ἁμαρτωλῶν σωτηρίας, Κυρίας Θεοτόκου, δεομένη
ἀπαύστως

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

καὶ τὸν αὐτῆς Υἱὸν δοξολογῶν καθ' ἑκάστην, Ματρώνα,
ὥσπερ ἐπίγειος ἐπολιτεύσω ἄγγελος·
ἔχουσα γὰρ τὰ βλέφαρα τῆς ψυχῆς σου ἐστραμμένα πρὸς Κύριον,
εἰ καὶ τὰ χοϊκά σου ἔσχες ἐκ γενετῆς κεκλεισμένα,
ἀνωτέρα ὤφθης πάσης ἐνύλου συναφείας·
εἰσελθοῦσα οὖν εἰς τὴν χαρὰν τοῦ Κυρίου σου
καὶ Αὐτοῦ ἀπολαύουσα τοῦ κάλλους
μὴ παύσῃ πρεσβεύουσα καὶ ὑπὲρ τῶν τιμώντων
τὴν ἀεισέβαστον μνήμην σου.

**Καὶ νῦν.** Θεοτοκίον.
Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

Εἴσοδος.
Φῶς ἱλαρόν.
Τὸ Προκείμενον τῆς ἡμέρας
καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. λα΄ 10 - 31 )

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὐτῆς τὸν πλοῦτον. Καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

www.tezaurliturgic.ro

βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ· πάντες γὰρ οἱ παρ᾽ αὐτῆς ἐνδεδυμένοι εἰσί. Δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἄν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. Στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε. Τὸ στόμα δὲ ἀνοίγει σαφῶς καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς καὶ ἐπλούτησαν καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῇρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. α΄ 1 - 10 )

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ΄ 1 - 9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνά-

www.tezaurliturgic.ro

ναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἰδιόμελα
### Ἦχος α'.

Εὐφράνθητε σήμερον φιλοσίων τὰ συστήματα
Ματρώνης τῆς νεοφανοῦς ὁσίας τὴν μνήμην τιμῶντα
καὶ ἐν ἀγαλλιάσει τρανῶς βοήσατε·
Ῥωσίας νεόφυτον ἔρνος
καὶ Ἐκκλησίας νεόδμητον μέλαθρον,
ἡ ἐν ἐσχάτοις τοῖς χρόνοις ἀσκητικοῖς ἐν τῷ κόσμῳ
διαλάμψασα παλαίσμασι,
ἐκτενῶς δυσώπει τὸν Κύριον ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## Ἦχος β΄.

Ἀόμματον καὶ παράλυτον ἀσκήτριαν,
τὴν πολλῶν τυφλῶν τοῖς πάθεσιν ὄμματα διανοίξασαν
ἰδεῖν τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν τῆς σωτηρίας,
Ματρώναν τὴν θεοσεβῆ ἐγκωμιάσωμεν ᾄσμασι βοῶντες·
μῆτερ, ἡ τῶν πάλαι ἀσκητριῶν τοὺς καμάτους ἀναζω-
γραφήσασα
καὶ θεωθεῖσα κατὰ μέθεξιν
ἀξίωσον ἡμᾶς Κυρίου τὸ ἀμήχανον θεάσασθαι κάλλος,
τοὺς τιμῶντας ἐκθύμως τὴν θείαν μνήμην σου.

## Ἦχος γ΄.

Ὁ ἀνορθῶν κατεραγμένους καὶ τυφλοὺς σοφῶν Κύ-
ριος,
καθάπερ φάσκει Δαβὶδ ὁ προφητάναξ,
σοφίας τῆς διαμενούσης ταμεῖον ἀσύλητόν σε ἔδειξε,
μακαρία Ματρώνα·
διανύσασα οὖν ἐν χοϊκῷ σκότει τὴν σὴν ἐπὶ γῆς πολιτείαν
ἐξῆλθες εἰς ὁλοφώτους σκηνώσεις ἀθανάτου εὐκλείας,
ἔνθα Χριστῷ πρεσβεύεις ὑπὲρ τῶν τιμώντων τὴν μνήμην
σου.

## Ἦχος δ΄.

Σταυρὸν τῆς τυφλώσεως τὴν αἴρουσαν ἐν τῷ βίῳ ἀγογ-
γύστως
καὶ παραδιδοῦσαν ἑαυτὴν τῇ ἀπείρῳ ἀγάπῃ καὶ προνοίᾳ
τοῦ εὐσπλάγχνου Κυρίου,

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

Ματρώναν τὴν ὁσίαν, καταστέψωμεν ᾄσμασιν·
αὕτη γὰρ ὡς ὑπομονῆς στῦλος ἀῤῥαγέστατος
καὶ πίστεως κάμινος καιομένη
χάριν εἴληφεν αἴρειν τοὺς σταυροὺς τοῦ πόνου καὶ τῶν θλίψεων
τῶν αὐτῇ προστρεχόντων ἐκ πίστεως·
καὶ νῦν οὐρανόθεν ἡμῖν καταπέμπει
φωτισμὸν γνώσεως καὶ ἀληθείας
τοῖς τιμῶσι ψαλμοῖς καὶ ὕμνοις πρέπουσιν
αὐτῆς τὸ μνημόσυνον.

**Δόξα.** Ἦχος ὁ αὐτός.

Δεῦτε, χριστωνύμων φιλοσίων χορεῖαι,
ἡδυπνεύστοις ἄνθεσιν ἐγκωμίων καταστέψωμεν
Ματρώναν τὴν πανaοίδιμον·
αὕτη γὰρ ἐν τῷ προσώπῳ τῶν πασχόντων καὶ καμνόντων
ἑώρα, εἰ καὶ ἀόμματος, τὸν Κύριον τῆς δόξης·
ἀσιγήτοις οὖν προσευχαῖς καὶ χάριτι
τῇ αὐτῇ δαψιλῶς δοθείσῃ
πολλοὺς ἐνίσχυε καὶ ἐνουθέτει τὰ κρείττονα·
καὶ νῦν Χριστῷ συνευφραινομένη
ἀπαύστως πρεσβεύει τοὺς κεκλεισμένους ἡμῶν ὀφθαλμοὺς διανοῖξαι
τοῦ ἰδεῖν τὰ σωτηριώδη καὶ ἄφθαρτα.

**Καὶ νῦν.** Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους φύλαττε,...

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

## Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.
## Ἦχος πλ. α΄. *Χαίροις, ἀσκητικῶν.*

Χαίροις, τῶν ἀομμάτων τὸ φῶς,
τῶν παραλύτων βακτηρία στηρίξεως
καὶ πάντων δεινῶς καμνόντων
προστάτις καὶ ἀρωγός,
θεαυγὲς Ματρώνα,
πνευματέμφορε·
Ῥωσίας ἐκβλάστημα,
ταπεινώσεως ἄγαλμα,
ἐν ἀφανείᾳ
ἡ ὁσίως βιώσασα
καὶ τῷ Κτίσαντι
ἔργοις εὐαρεστήσασα,
μὴ διαλλίπῃς, ἔνθεε,
Αὐτὸν ἱκετεύουσα
διδόναι σὲ τοῖς τιμῶσιν
ἄμφω ψυχῆς τε καὶ σώματος
ὑγίειαν, σθένος
καὶ ἰσχὺν πατῆσαι πλάνον
τὸν πολυμήχανον.

Στίχος. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Χαίροις, σωματικοὺς ὀφθαλμούς,
Ματρώνα σῶφρον, κεκλεισμένους ἡ ἔχουσα,
οἷς κρίμασιν οἶδε μόνος

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

ὁ Παντεπόπτης Θεός,
ὁ ψυχῆς ἀνοίξας
κόρας θείας σου
ζητεῖν τὰ αἰώνια
καὶ ἀεὶ διαμένοντα
καὶ ἀναδείξας
σὲ δοχεῖον πολύτιμον
θείας χάριτος
καὶ θαυμάτων ἀκένωτον
πέλαγος· σὲ γὰρ ᾄσμασι
τιμῶντες γηθόμενοι
τὴν σὴν πανίερον μνήμην
ἐπιτελοῦμεν, ἀσκήτρια
Ῥωσίας φωσφόρε,
καὶ Χριστὸν δοξολογοῦμεν
τὸν σὲ δοξάσαντα.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

Δεῦτε, τὴν παριδοῦσαν σοφῶς
παραλυσίαν καὶ φωτὸς ἀποστέρησιν,
ὁσίαν Ματρώναν, πίστει
τῶν φιλαρέτων πληθύς,
μέλψωμεν καὶ πόθῳ
ἐκβοήσωμεν·
ὀμμάτων ἡ ζόφωσιν
ἀκλινῶς ὑπομείνασα
καὶ φωτισθεῖσα

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

τῷ φωτὶ θείας χάριτος,
τὴν διάνοιαν
φώτισόν μου σοῦ πρόσφυγος,
ἵνα δοξάζω πάντοτε
καρδίᾳ καὶ χείλεσι
τὸν Φωτοδότην Σωτῆρα
τοῦ μεροπείου συστήματος
καὶ σὲ μακαρίζω
ὡς ἀσκήτριαν ἐν κόσμῳ
τὴν ἐνασκήσασαν.

**Δόξα.** Ἦχος πλ. δ΄.

Ἀμνάδα τὴν ἄσπιλον Χριστοῦ τοῦ Ἀρχιποίμενος,
Ματρώναν τὴν πανεύφημον, ἐν κατανύξει ἀνυμνήσωμεν·
αὕτη γὰρ διασκεδάσασα τὸ σκότος
τῶν σωματικῶν αὐτῆς βλεφάρων τῷ ἀστέκτῳ φωτὶ τῆς χάριτος
ἅπαντας κατεφώτισεν ἀστραπαῖς ἀρετῆς καὶ χρηστοηθείας·
καὶ νῦν τοῦ ἀῤῥήτου κάλλους τοῦ ποθεινοῦ αὐτῆς Νυμφίου
καθορῶσα διηνοιγμένοις τοῖς ὄμμασιν ἐν οὐρανίῳ παστάδι
ἀδιαλείπτως πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν.** Θεοτοκίον. Δέσποινα, πρόσδεξαι...

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

Ἀπολυτίκιον. Ἦχος πλ. α΄. *Τὸν συνάναρχον Λόγον.*

Ἀδιάσειστον στῦλον Ῥωσίας ὄγδοον,
τὴν στερουμένην ὀμμάτων
ἐκ γενετῆς, εὐλαβῶς
ἀνυμνήσωμεν Ματρώναν τὴν ἀοίδιμον,
ὡς σκεῦος θείων δωρεῶν
καὶ ἀγάπης ἀκραιφνοῦς
πρὸς πάντας ἐμπεριστάτους
βοῶντες· σκέδασον ζόφον
παθῶν ἡμῶν φωτὶ σῆς χάριτος.

Θεοτοκίον. Χαῖρε, Πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.

Ἦχος α΄. *Τὸν τάφον Σου, Σωτήρ.*

Τὸν γόνον εὐλαβῶν
καὶ τιμίων πενήτων,
Ματρώναν τὴν τυφλήν,
ἐπαινέσωμεν πόθῳ,
ὡς σκεῦος τῆς χάριτος
τοῦ Θεοῦ διαυγέστατον
καὶ ἰάσεων
καὶ θαυμασίων ταμεῖον
ἀνακράζοντες·
ὄγδοε στῦλε Ῥωσίας,
ἡμῶν ἴσθι στήριγμα.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Καταύγασον ψυχὰς
τῷ φωτί σου, Παρθένε,
καὶ φώτισον αὐγαῖς
διανοίας σῶν δούλων
θερμῶν σου δεήσεων
πρὸς τὸν εὔσπλαγχνον Τόκον σου,

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

ἵνα δίαυλον
ζωῆς ἡμῶν τῆς προσκαίρου
διανύσωμεν
καλῶς καὶ ὕψος εἰς θεῖον
χρηστότητος φθάσωμεν.

Μετὰ τὴν β′ Στιχολογίαν Κάθισμα.
Ἦχος πλ. α′. *Τὸν συνάναρχον Λόγον.*

Τὴν προγνοῦσαν τὸν θάνατον τοῦ βαπτίσαντος
αὐτὴν σεμνοῦ ἱερέως
χάριτι θείᾳ λαμπρῶς,
ἑξαέτιδα Ματρώναν, εὐφημήσωμεν
ἀόμματον ἐκ γενετῆς
οὖσαν ὥσπερ δωρεῶν
τοῦ Πνεύματος τοῦ ἁγίου
μυροδοχεῖον καὶ ξένων
θαυμάτων εὔοσμον μυράλειπτρον.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Ἀψευδῆ ὡς προστάτιν πιστῶν ὑμνοῦμέν σε
καὶ βοηθὸν ἐν ἀνάγκαις
ἑτοίμην, Μῆτερ Θεοῦ,
τὴν βροτοὺς ἀναγαγοῦσαν πρὸς τὴν εὔκλειαν
καὶ δόξαν τὴν προπτωτικὴν
διὰ Τόκου σου σεπτοῦ,
Παρθένε, τοῦ Θεανθρώπου,
δι᾽ ἀγαθότητα ἄκραν

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

τοῦ βροτωθέντος, ἀξιάγαστε.

Μετὰ τὸν Πολυέλεον Κάθισμα.
Ἦχος γʹ. *Τὴν ὡραιότητα τῆς παρθενίας σου.*

Ῥωσίας πύρσευμα τὸ νεαυγέστατον
καὶ νέον καύχημα Χριστοῦ τῆς πίστεως,
ἐν δυσχειμέροις τῆς καιροῖς φωτίσασαν ἀθεΐας
πλῆθος χειμαζόμενον εὐσεβῶν καὶ στηρίξασαν
κλονουμένους ἅπαντας ἐκτενῶς ἀνακράζοντες·
μητέρων θεοφόρων πυξίον, χαῖρε, Ματρώνα μακαρία.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνῇ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ αʹ Ἀντίφωνον τοῦ δʹ ἤχου καὶ τὸ Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.
Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

Εὐαγγέλιον Ὁσιακόν.

## Ὁ Ν΄ Ψαλμός.

**Δόξα.** Ταῖς τῆς Σῆς Ὁσίας, πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

## Ἰδιόμελον. Ἦχος πλ. β΄

Τὴν παιδιόθεν παριδοῦσαν ἐμπαιγμοὺς τῶν αὐτῆς ὁμηλίκων
ἀόμματον ἀλλὰ θεοφώτιστον,
τὴν ἁπλότητι καὶ ταπεινώσει ἐγκοσμουμένην,
Ματρώναν τὴν ἀξιέραστον, ἐπαινέσωμεν κράζοντες·
ἀγάπης Θεοῦ τοῦ Ὑψίστου πρόβολε
καὶ λαοῦ ἔρεισμα χειμαζομένου,
ἡ φυγοῦσα τῆς μήνιος ἀθέων, Θεοῦ τῇ χάριτι,
πρέσβευε ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

## Εἶτα ὁ Κανὼν τῆς Ὁσίας, οὗ ἡ Ἀκροστιχίς· «Ματρώναν, ἀόμματον Ῥωσίδα ὑμνῶ ὁσίαν. Χ.»

## Ὠδὴ α΄. Ἦχος δ΄. *Ἀνοίξω τὸ στόμα μου.*

Ματρώναν ὑμνήσωμεν
πανευλαβῶς τὴν ἀόμματον
Ῥωσίδος ἀσκήτριαν
γῆς, τὴν πιστοὺς θεαυγῶς
καταυγάσαν πυρσεύμασιν ἀρτίως

ζωῆς καθαρότητος
καὶ διοράσεως.

Ἀμνάδα πανάσπιλον
Χριστοῦ, ἀγάπης ὡς σκήνωμα
καὶ ἔμψυχον ἄγαλμα
παραμυθίας λαοῦ
ἀνυμνήσωμεν,
Ματρώναν τὴν ὁσίαν,
βολαῖς τὴν ἐκλάμψασαν
κόσμῳ συνέσεως.

Τυφλὴν καὶ ἀόμματον
ἐκ γενετῆς ὑπερθαύμαστον
ἀσκήτριαν μέλψωμεν
τὴν δαψιλῶς ἐκ Θεοῦ
προοράσεως
ἀπολαβοῦσαν χάριν,
Ματρώναν τὴν πάνσεπτον
καὶ θεοφόρητον.

Θεοτοκίον.

Ῥυπῶδες ἱμάτιον
ψυχῆς μου κάθαρον, Δέσποινα,
ὑσσώπῳ δεήσεων
σῶν πρὸς Υἱόν σου σεπτῶν,
ἀμπλακήματα
τὸν αἴροντα τοῦ κόσμου,

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

Χριστὸν τὸν εὐΐλατον,
μόνον Θεάνθρωπον.

### ᾨδὴ γ´. *Τοὺς σοὺς ὑμνολόγους.*

Ὡς ἄστρον νεόφωτον ἐφάνης
ἐν χρόνοις Ῥωσίας ζοφεροῖς
ἐμπεριστάτοις, κάμνουσι,
χειμαζομένοις, στένουσι
καὶ θλιβομένοις, πάνσεπτε
Ματρώνα, μῆτερ ἀόμματε.

Νικήσασα πάσας μεθοδείας,
Ματρώνα, ἐχθροῦ τοῦ δυσμενοῦς
ὑπομονῇ, σεμνότητι,
νηστείᾳ καὶ δεήσεσιν
ἀόκνοις ὤφθης πίστεως
φωτολαμπὲς ἀνακτόριον.

Ἁγίων μητέρων τοὺς ἀγῶνας
τῶν πάλαι ζηλώσασα καλῶς
ἐνήσκησας ἐν ἔτεσιν
ἐσχάτοις καὶ δεδόξασαι
ἀξίως πλείστοις θαύμασι,
Ματρώνα, δᾷς ταπεινώσεως.

### Θεοτοκίον.

Νικῆσαι με πλάνου μεθοδείας
δυνάμει ἀξίωσον τῇ σῇ,

εὐλογημένη Δέσποινα,
Κυρία Μητροπάρθενε,
τὸν εὐσχημόνως πάντοτε
σὲ καὶ τρανῶς μεγαλύνοντα.

Κάθισμα. Ἦχος γʹ. *Θείας πίστεως.*

Στῦλον ὄγδοον Ῥωσίας πάσης
σὲ ὠνόμασεν ὁ Ἰωάννης
τῆς Κρονστάνδης ἱερεὺς ὁ θειότατος,
πνευματοφόρε Ματρώνα, πανεύφημε,
τῆς ἀθεΐας προγνοὺς ἐπικράτησιν
καὶ σὴν δύναμιν
στηρίξαι λαὸν φιλόχριστον
ἐν δίναις ἐσομέναις, χαριτόβρυτε.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Οἴκους χάριτος τοὺς σοὺς οἰκέτας
πάντας ἔργασαι, Θεογεννῆτορ,
διὰ βίου ἀρετῆς καὶ σεμνότητος,
ἡ ἐποφθεῖσα φωτόλαμπρον σκήνωμα
καὶ παμφαὲς τοῦ Θεοῦ ἀνακτόριον·
πόθῳ κράζομεν καὶ ὕμνοις φαιδροῖς ἀείποτε
σὲ στέφομεν, Παρθένε θεοδόξαστε.

Ὠδὴ δʹ. *Ὁ καθήμενος ἐν δόξῃ.*

Ἁγιότητος κινύρα

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

καὶ ψαλτήριον νήψεως,
εὐσεβὲς Ματρώνα,
ἤνυσας ἐν Μόσχᾳ ἀγῶνά σου
ἀσκητικὸν καὶ τῶν πάλαι ἰσοστάσιος
ἄρτι πέφηνας
μητέρων, θεοφορούμενε.

Ὁλικῶς σου τὴν καρδίαν
ἀνατείνων πρὸς Κύριον
τὸν ἀνοίξαντά σου
ἅπαξ ὀφθαλμοὺς πλάσιν ἅπασαν
ἰδεῖν, Ματρώνα, καὶ ἥλιον τὸν πάμφωτον,
κατηξίωσαι
Αὐτὸν ἀλήκτως θεάσασθαι.

Μαργαρίταις και σαπφείροις
ἀρετῆς καὶ σεμνότητος
τὴν κεκοσμημένην
νουνεχῶς, Ματρώναν, τιμήσωμεν
ὡς ἐνδιαίτημα χάριτος θεότευκτον
καὶ πολύολβον θαυμάτων ξένων θησαύρισμα.

Θεοτοκίον.

Μητροπάρθενε Κυρία,
ἐν χερσὶν Ὃν ἐβάστασας,
Ἰησοῦν, δυσώπει,
Κεχαριτωμένη πανύμνητε,
δοῦναι ἰσχὺν καὶ ὑγίειαν καὶ δύναμιν

τοῖς προσφεύγουσι
τῇ ἀῤῥαγεῖ προστασίᾳ σου.

*Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Ἀμνὰς θεοδόξαστε,
Ματρώνα, θῆρες ἄθεοι
συλλαβεῖν σε ἤθελον εἰς πάγας
αὐτῶν ὡς πάντων
τῶν εὐσεβῶν καλλονὴν
καὶ στήριγμα καὶ χειραγωγὸν
πρὸς Χριστὸν τὸν σῴζοντα
κλονουμένων συστήματος.

Τοῦ Πνεύματος χάριτι
ἑώρας τὰ ἐσόμενα
εἰ καὶ κεκλεισμένας εἶχες κόρας
τῶν ὀφθαλμῶν σου
τῶν σαρκικῶν, ἀγλαὴ
Ματρώνα, μητέρων νεαυγῶν
λαμπηδὼν καὶ αὔγασμα
θαυμασίων νεόφωτον.

Ὀδμαῖς τῶν χαρίτων σου
Ῥωσίας δήμους ηὔφρανας
καὶ τῇ εὐωδίᾳ τῶν σῶν λόγων
τὴν δυσσωδίαν,
Ματρώνα, τῶν ὑλιστῶν
ἐσκέδασας· ὅθεν μυστικῶς

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

μνήμην σου τὴν πάντερπνον
νῦν τελοῦμεν γηθόμενοι.

Θεοτοκίον.

Νεκρώσαντα ὄφιν με
τῇ συμβουλῇ τῇ χείρονι
πάτησον τῇ ῥάβδῳ προσευχῶν σου
καὶ μὴ ἐάσῃς
τῆς ἐπηρείας αὐτοῦ
γενέσθαι με ἕρμαιον, ἁγνή,
σὲ τὸν μακαρίζοντα,
Θεοτόκε, ἀείποτε.

᾿Ωδὴ ς΄. *Τὴν θείαν ταύτην.*

Ῥωσίας γόνον τὸν πάνσεπτον,
τὴν καθαγιασμένην τιμήσωμεν
ἐκ τῆς κοιλίας νῦν
μητρὸς αὐτῆς ἀνακράζοντες·
χαῖρε, Ματρώνα, ἔρνος
Χριστοῦ νεόφυτον.

Ὣς πλοῦτος ἀνεκομίσθησαν
ἀσύλητος ἀρτίως σὰ λείψανα
καὶ ἁγιάζουσι,
Ματρώνα, νῦν τὴν περίλαμπρον
μονὴν ῾Αγίας Σκέπης
τῆς Μόσχας, ἔνθεε.

Cὲ τὴν ἀόμματον σύλλογος
βλεπόντων τοῦ Θεοῦ τὰ θαυμάσια,
Ματρώνα, ᾄδει σοι
ᾠδὴν καινὴν καὶ κραυγάζει σοι·
ἀξίωσόν με βλέπειν
ἐχθροῦ τὰ ἔνεδρα.

Θεοτοκίον.

Ι᾿λύος ῥῦσαί με, Δέσποινα,
παντοίων ἁμαρτάδων καὶ θλίψεων
καὶ δός μοι τάχιστα
νοῦν εὐσταθῆ καὶ θεόφρονα,
ἵνα καλῶς ἀνύσω
ζωῆς ὑπόλοιπον.

Κοντάκιον. Ἦχος πλ. δ'. *Τῇ Ὑπερμάχῳ.*

Φωτὸς ἀΰλου διαυγέστατον κυάθιον
καὶ προοράσεως κανόνα τὸν εὐθύτατον
τὴν ἀόμματον ὑμνήσωμεν νῦν Ματρώναν
ἐγκωμίοις μελιῤῥύτοις ὡς αὔγασμα
καρτερίας, ταπεινώσεως καὶ χάριτος
θείας κράζοντες· Χαίροις, Μῆτερ πανεύφημε.

Ὁ Οἶκος.

Ἄ”γγελος φωτοφόρος
ὤφθης ἄρτι, Ματρώνα

ἀόμματε, Ῥωσίδος γῆς εὖχος·
ταπεινώσει γὰρ ὑπομονῇ
καὶ σκληραγωγίᾳ καὶ πολλαῖς θλίψεσι
Κυρίῳ εὐηρέστησας
καὶ ἔπιθες πιστοὺς βοᾶν σοι·

Χαῖρε, τὸ ἄνθος τῆς καρτερίας·
χαῖρε, τὸ στέφος τῆς ἀφθαρσίας.

Χαῖρε, νυκτιφόρος δεινῆς ἀθεότητος··
χαῖρε, σελασφόρος χαρίτων τοῦ Πνεύματος.

Χαῖρε, φάρος προοράσεως καὶ εὐχῆς καρδιακῆς·
χαῖρε, λύχνος ταπεινώσεως καὶ ἐνθέου βιοτῆς.

Χαῖρε, Θεοῦ σοφίας τιμαλφέστατον ἄγγος·
χαῖρε, παραμυθίας τῶν ἐν θλίψεσι φάος.

Χαῖρε, κρηπὶς σοφίας καὶ νήψεως·
χαῖρε, πυξὶς Χριστοῦ ἀγαπήσεως.

Χαῖρε, τυφλὴ ἀηδὼν τῆς Ῥωσίας·
χαῖρε, τρυφὴ τῶν μακρὰν καὶ τῶν πέλας·

Χαίροις, Μῆτερ πανεύφημε.

Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας,
ἤτοι τῆς Β΄ Μαΐου. Εἶτα λέγομεν.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας καὶ θεοφόρου μητρὸς ἡμῶν Ματρώνης, τῆς ἀομμάτου καὶ θαυματοβρύτου συγχρόνου ἀσκητρίας τοῦ κόσμου.

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

www.tezaurliturgic.ro

## Στίχοι.

Εἰ καὶ ἀόμματος, ἐσόμενα πάντα,
Ῥωσὶς ἀσκήτρια, Ματρώνα, προέγνως.

## Συναξάριον.

Ἡ ὁσία καὶ θεοφόρος μήτηρ ἡμῶν Ματρώνα, ἡ Ῥωσὶς ἀσκήτρια τῶν ἐσχάτων χρόνων, διέλαμψεν ὑπομονῇ, ταπεινώσει καὶ προορατικῷ χαρίσματι. Ἀόμματος οὖσα ἐκ μητρὸς αὐτῆς κοιλίας σκεῦος γέγονε τοῦ πανσθενοῦς Παρακλήτου ἔμπλεως συμπαθείας πρὸς πάντα πάσχοντα, παραμυθίας τῶν ἐν θλίψεσιν ὄντων καὶ ἰάσεως τῶν δεινῶς νοσούντων.Δικαίως ἐπονομάσθη ὑπὸ τοῦ ἁγίου Ἰωάννου τῆς Κρονστάνδης ὄγδοος στῦλος τῆς Ῥωσίας, διότι ἔμελλε στηρῖξαι τὸν ἐμπερίστατον φιλόχριστον λαὸν ἐν δυσχειμέροις ἡμέραις ἀθεΐας. Ἐκοιμήθη ὁσίως τῇ β΄ Μαΐου τοῦ σωτηρίου ἔτους 1952 καὶ ἐτάφη ἐν τῇ μονῇ Ντανιλόφσκι. Τὰ χαριτόβρυτα αὐτῆς λείψανα ἀνακομισθέντα κατετέθησαν ἐν τῇ ἱερᾷ μονῇ Ἁγίας Σκέπης τῆς Μόσχας, ἔνθα ἄπειρα θαύματα ἐπιτελοῦσι τοῖς μετὰ πίστεως αὐτὰ προσκυνοῦσι.

Ταῖς αὐτῆς ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## Ὠδὴ ζ΄. *Οὐκ ἐλάτρευσαν.*

Δόξης μέτοχος
τῆς αἰωνίου γέγονας,
Ματρώνα πάναγνε,
ὄγδοε στῦλε λαμπρὲ

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

Ῥωσίας καὶ ἄσειστε
πύργε τῆς πίστεως,
εὐσεβόφρονας
ὁ πυργηρῶν ἀείποτε
σῆς πατρίδος, μακαρία.

Ἀγγελόμορφε
Ματρώνα, τῶν λειψάνων σου
σορὸν τὴν πάνσεπτον
κατασπαζόμενοι νῦν
ἐν Μόσχᾳ δοξάζομεν
τὸν σὲ δοξάσαντα
καὶ ἀείῤῥυτον
χειμάῤῥουν ἀναδείξαντα
σέ, μητέρων ὡραιότης.

Ὑμνῳδίαις σε
μελισταγέσι στέφομεν,
Ματρώνα, πάντοτε
τὴν δεομένην Χριστοῦ
ὑπὲρ τῶν προσφύγων σου
καὶ ὁμηγύρεως
εὐσεβόφρονος,
ἀόμματε ἀσκήτρια
τοῦ Χριστοῦ, ὁμοεθνῶν σου.

Θεοτοκίον.

Μακαρίζομεν
οἱ δοῦλοί σου ἀείποτε

σέ, θεοτίμητε,
ἐνσαρκωμένου Θεοῦ
Μητέρα τὴν ἄχραντον
καὶ ὁμηγύρεως
ῥῦστιν ἄγρυπνον
ἐκ συμφορῶν καὶ θλίψεων
τῶν πιστῶς σοι προσφευγόντων.

*Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.*

Μέμνησο τῶν πίστει ἐκτελούντων,
Ματρώνα ὁσία, μνήμην σὴν φωτόλαμπρον,
λυτρουμένη ἅπαντας
σὲ τοὺς μακαρίζοντας
κακότητος τοῦ δαίμονος
καὶ πάσης θλίψεως,
ἡ ἄρτι ῥυσαμένη Ῥωσίδος
γόνους ἐπηρείας
ἐχθροῦ τοῦ μισοκάλου.

Ὡς συγκοινωνὸν ἀγγέλων δήμων
ἐν δώμασιν οὐρανῶν ἀνευφημοῦμέν σε,
μῆτερ πνευματέμφορε,
ἀπαθείας σκήνωμα,
Ματρώνα καὶ βοῶμέν σοι
εὐτάκτοις μέλεσι·
μνημόνευε ἡμῶν προσκυνούντων
θήκην σῶν λειψάνων
τὴν βρύουσαν ἰάσεις.

Ὅρμον γαληνὸν ζωῆς ἀγήρω
κατέλαβες καὶ χαρᾶς τῆς ὑπὲρ ἔννοιαν
ἠξιώθης, σύσκηνος
γενομένη, πάγκαλε,
ἀσκητριῶν καὶ τάγματος
ἀγγέλων· ὅθεν σοι
βοῶμεν καθ᾽ ἑκάστην· ὁσία
πρέσβευε Κυρίῳ
ὑπὲρ τῶν σὲ ὑμνούντων.

Θεοτοκίον.

Σάρκα προσλαβόμενον βροτείαν
Θεοῦ Θεὸν Λόγον ἐξ αἱμάτων σου
τῶν ἀχράντων, Δέσποινα,
ἐκτενῶς ἱκέτευε
ἐκ λάκκου ματαιότητος
ὑψῶσαι ἅπαντας
πρὸς πλήρωσιν ἀγάπης σοὺς δούλους,
Κεχαριτωμένη,
πρὸς σὸν Υἱὸν καὶ πέλας.

Ὠδὴ θ΄. *Ἅπας γηγενής.*

Ἴσχυσας Θεοῦ
δυνάμει τὸν ἄθεον
τροπῶσαι τύραννον
καὶ ἀνῦσαι δίαυλον

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

ὁμολογίας
Χριστοῦ ὀνόματος
τὸν κάλλιστον, τρισένδοξε
Ματρώνα· ὅθεν σε
ἀνυμνοῦμεν
ὡς τυχοῦσαν κρείττονος
ἐν τῷ πόλῳ εὐκλείας, ἰσάγγελε.

Ἄσκησιν τὴν σὴν
τιμῶντες γηθόμενοι,
Ματρώνα πάνσοφε,
καὶ σορὸν λειψάνων σου
ἐν κατανύξει
κατασπαζόμενοι
τὰς σὰς θερμὰς πρὸς Κύριον
ἀπεκδεχόμεθα
ἱκεσίας,
ἵνα τὴν ἀπάγουσαν
πρὸς Ἐδὲμ πάντες τρίβον ὁδεύσωμεν.

Νῦν πανευλαβῶς
σὲ ὡς ταπεινώσεως
φανὸν γεραίρομεν
τὴν τυφλήν, ἀόμματον
καὶ παρειμένην,
Ματρώνα, κράζοντες·
ἰδεῖν ἡμᾶς ἀξίωσον
Θεοῦ τὸ πρόσωπον
τοὺς ποθοῦντας

εὐσεβῶς τὸ στάδιον
διανῦσαι προσκαίρου βιώσεως.

Θεοτοκίον.

Χαῖρε, ἀγαθή,
Θεὸν ἡ κυήσασα
τὸν ὑπερούσιον,
ὄφιν τὸν νεκρώσαντα
τὸν πάλαι δόλῳ
ἡμῶν προπάτορας
νεκρώσαντα κραυγάζοντες
βοῶμεν· πρόφθασον
καὶ ζοφώδους
λύτρωσαι κολάσεως
αἰωνίου τοὺς σὲ μακαρίζοντας.

Ἐξαποστειλάριον. *Γυναῖκες ἀκουτίσθητε.*

Τὴν εὐλογίαν ᾔτουν σου
πρὸ τῆς ἐπικρατήσεως
ἀθέων ἐν τῇ Ῥωσίᾳ
τῶν φιλοχρίστων οἱ δῆμοι
καὶ ἐν καιροῖς κατέφευγον
τοῖς δυσχειμέροις, πάνσοφε
Ματρώνα, τῇ σῇ χάριτι,
στενόντων παραμυθία,
γλυκεῖα Ῥώσων ἁπάντων.

### Θεοτοκίον.

Χριστιανῶν προσφύγιον
καὶ κλονουμένων ἔρεισμα,
Θεογεννῆτορ Παρθένε,
εὐλογημένη Μαρία,
τὸν σὸν Υἱὸν καὶ Κύριον
ἱκέτευε τὴν ἄφεσιν
πταισμάτων δοῦναι ἅπασι
τοῖς σὲ ὑμνοῦσιν ἀπαύστως
εἰς ἀπεράντους αἰῶνας.

### Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ′ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.
### Ἦχος πλ. δ′. Ὢ, τοῦ παραδόξου θαύματος!

Νέον τῆς Ῥωσίας σέμνωμα,
Ματρώνα, ἡ ἀφανῶς
τὴν ὁδὸν διανύσασα
ἐπὶ γῆς βιώσεως
τῆς προσκαίρου καὶ φθάσασα
εἰς ἀπαθείας
καὶ τελειότητος
τῆς ἐν Κυρίῳ
τῷ Παντοκράτορι
ὕψος, θεόκλητε,
ἐμφανές, ἱκέτευε ὑπὲρ ἡμῶν
τῶν τελούντων μνήμην σου
τὴν πανακήρατον.

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

Μῆτερ ὄντως θεοφώτιστε,
ἡ ἐν ἐσχάτοις καιροῖς
ὑπερτέρα τυφλώσεως
ὀφθαλμῶν τοῦ σώματος
ἐποφθεῖσα καὶ σύνοικος
Θεοῦ σοφίας,
ἰδεῖν ἠξίωσαι
ἀφθάρτοις κόραις
τὸν Παντοκράτορα
ἐν θείοις δώμασιν,
Ὃν δυσώπει πάντοτε ἡμῖν, σεμνή,
πέμψαι χάριν ἄφθονον
καὶ μέγα ἔλεος.

Χαίρει Ῥώσων νῦν ὁ σύλλογος
ὁ θεοφόρος τῇ σῇ
θείᾳ μνήμῃ, περίδοξε
καὶ σεμνὴ ἀσκήτρια,
ἡ ἀρτίως ἐκλάμψασα
βολαῖς σοφίας
καὶ προοράσεως,
χρηστοηθείας
καὶ ταπεινώσεως·
ὅθεν πανήγυριν
ἄγει νῦν τῆς μνήμης σου
τῆς ἱερᾶς
καὶ δοξάζει Κύριον
τὸν σὲ δοξάσαντα.

Ῥεῖθρα ἀναβλύζει, πάνσεμνε,
θαυμάτων παντοδαπῶν
ἡ σορὸς τῶν λειψάνων σου
νῦν, Ματρώνα ἔνθεε,
ἐν μονῇ Θεομήτορος
ἁγίας Σκέπης,
ἥνπερ μονάζουσαι
κυκλοῦσι πόθῳ
καθάπερ μέλισσαι
καὶ ὁ φιλόχριστος
δῆμος· ὡς ἀείῤῥυτος
κρουνὸς γὰρ σὴν
χάριν, ἣν ἀπείληφας,
δεικνύει ἅπασι.

**Δόξα.** Ἦχος πλ. α΄.

Ἀκαταπλήκτῳ καρδίᾳ ὑπελθοῦσα τὸ μαρτύριον
τῆς ἐπὶ γῆς σου τυφλώσεως καὶ παραλύσεως
τοὺς τυφλοὺς καὶ παρειμένους τῇ ἁμαρτίᾳ συνέσφιγξας,
Ματρώνα, ὁσίων μητέρων ἐγκαλλώπισμα·
λαβοῦσα ὅθεν τὸ ἀντιμίσθιον τῆς ἄνω δόξης
καὶ τὸν καρπὸν δρεπομένη ζωῆς τῆς ἀλήκτου
τὸν Σωτῆρα τῶν πάντων δυσωπεῖς ὑπὲρ τῶν τιμώντων
τὴν ἀεισέβαστον μνήμην σου.

**Καὶ νῦν.** Θεοτοκίον. Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

# Ε Ν Τ ΗΙ Λ Ε Ι Τ Ο Υ Ρ Γ Ι ᾼ

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῆς Ὁσίας ἡ γ´ καὶ ἡ ϛ´ ᾠδή.

Ἀπόστολος πρὸς Γαλάτας. (Κεφ. ε´ 22 - στ´ 2 ).

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματος ἐστιν ἀγάπη, χαρά,...

Ζήτει τῷ Σαββάτῳ τῆς ΚΖ´ Ἑβδομάδος.

Εὐαγγέλιον κατὰ Ματθαῖον. (Κεφ. κε´ 1 - 13 ).

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις...

Ζήτει τῷ Σαββάτῳ Δεκάτῳ ἕκτῳ τοῦ Ματθαίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον.

Φῶς τὴν στερηθεῖσαν ἐκ γενετῆς
ὀφθαλμῶν, Ματρώναν,
εὐφημήσωμεν εὐλαβῶς
ὡς πνευματοφόρων
ἀσκητριῶν Ῥωσίας
ἀγλάϊσμα τὸ νέον
καὶ σκεῦος χάριτος.

«ΧΡΙΣΤΙΑΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ»